Χερσόνησος θρακική

«Φαίνονται δ' οὐδ' ἐνταῦθα (ἐν τῇ Τροίᾳ) πάσῃ τῇ δυνάμει χρησάμενοι (οἱ Ἕλληνες), ἀλλὰ πρὸς γεωργίαν τῆς Χερσονήσου τραπόμενοι καὶ λῃστείαν τῆς τροφῆς ἀπορίᾳ» Θουκ. 1. 11. § 1.

52 Πρὸς δὲ τῇ ἐκβολῇ τοῦ Ἕβρου . . . πόλις Αἶνος ἐν τῷ Μέλανι κόλπῳ κεῖται . . . εἶτ' ἄκρα Σαρπηδών. εἶθ' ἡ Χερρόνησος ἡ θρᾳκία καλουμένη, ποιοῦσα τὴν Προποντίδα καὶ τὸν Μέλανα κόλπον καὶ τὸν Ἑλλήσποντον· ἄκρα γὰρ ἔκκειται πρὸς εὐρόνοτον, συνάπτουσα τὴν Εὐρώπην πρὸς τὴν Ἀσίαν ἑπταστάδιον πορθμὸν τὸν κατὰ Ἄβυδον καὶ Σηστόν, ἐν ἀριστερᾷ μὲν τὴν Προποντίδα ἔχουσα, ἐν δεξιᾷ δὲ τὸν Μέλανα κόλπον καλούμενον οὕτως ἀπὸ τοῦ Μέλανος ἐκδιδόντος εἰς αὐτόν, καθάπερ Ἡρόδοτος καὶ Εὔδοξος . . . Στράβων Ζ. Σελ. 469

. . . . ἰσθμῷ δὲ κλείεται τετταράκοντα σταδίων ἡ λεχθεῖσα ἄκρα. ἐν μέσῳ μὲν οὖν τῷ ἰσθμῷ Λυσιμάχεια πόλις ἵδρυται ἐπώνυμος τοῦ κτίσαντος βασιλέως· ἑκατέρωθεν δ' ἐστὶν ἐν τῷ Μέλανι κόλπῳ Καρδία κεῖται μεγίστη τῶν ἐν τῇ Χερρονήσῳ πόλεων, Μιλησίων καὶ Κλαζομενίων κτίσμα, ὕστερον δὲ καὶ Ἀθηναίων. ἐν

368

Χερρόνησος θρᾳκική

δὲ τῇ Προποντίδι Πακτύη. μετὰ δὲ Καρδίαν Δρά-
βος καὶ Λίμναι, εἶτ' Ἀλωπεκόννησος, εἶτα ἐξῆς μάλιστα
ὁ Μέλας κόλπος. εἶτ' ἄκρα μεγάλη Μαστουσία. εἶτ' ἐν
κόλπῳ Ἐλαιοῦς ὅπου τὸ Πρωτεσιλάειον, καθ' ὃ τὸ Σίγει-
ον ἀπὸ τετταράκοντα σταδίων ἐστίν, ἄκρα τῆς
Τρῳάδος· καὶ σχεδὸν τοῦτ' ἐστὶ τὸ νοτιώτατον ἄκρον
τῆς Χερρονήσου, σταδίοις μικρῷ πλείοσι τῶν τετρακο-
σίων ἀπὸ Καρδίας· καὶ οἱ λοιποὶ δ' ἐπὶ θάτερα μέ-
ρη τοῦ ἰσθμοῦ μικρῷ τὸ διάστημα τούτου πλέους
περιπλέονται. Ε.

53. Ἡ μὲν Θρᾳκῶν Χερρόνησος τρεῖς ποιεῖ
θαλάσσας· Προποντίδα ἐπὶ βορρᾶ, Ἑλλήσποντον
ἐξ ἀνατολῶν καὶ τὸν Μέλανα ἐπὶ νότου, ὅπου καὶ ὁ Μέ-
λας ποταμὸς ἐκβάλλει, ὁμωνύμως τῷ κόλπῳ. Ε.

54 ὅτι ἐν τῷ ἰσθμῷ τῆς Χερρονήσου τρεῖς πόλεις
ἵδρυνται· πρὸς μὲν τῷ Μέλανι κόλπῳ Καρ-
δία, πρὸς δὲ τῇ Προποντίδι Πακτύη, πρὸς
δὲ τῇ μεσογαίᾳ Λυσιμάχεια· μῆκος τοῦ ἰσθμοῦ
στάδια τετταράκοντα. Epit.

56 ἔστι δ' ἐν τῷ περίπλῳ τῷ μετὰ Ἐλαιοῦντα
ἡ εἰσβολὴ πρώτη ἡ ἐφ' τὴν Προποντίδα διὰ τῶν
στενῶν, ἣν φασιν ἀρχὴν εἶναι τοῦ Ἑλλησπόντου·
ἐνταῦθα δ' ἐστὶ τὸ Κυνὸς σῆμα ἄκρα, οἱ δ' Ἑκά-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

# Χερρόνησος Θρακική.

τῆς φασί· ἡ γὰρ δείκνυται κάμψαντι τὴν ἄκραν Στράβων
τάφος αὐτῆς. εἶτα Μάδυτος καὶ Σηστιὰς ἄκρα, καθ' Ζ. σελ 470.
ἣν τὸ Ξέρξου ζεῦγμα, καὶ μετὰ ταῦτα Σηστός, ἀπὸ
δὲ Ἐλαιοῦντος ἐπὶ τὸ ζεῦγμα ἑκατὸν ἑβδομήκοντα·
μετὰ δὲ Σηστὸν ἐπὶ Αἰγὸς ποταμοὺς διακόσιοι
ὀγδοήκοντα, πολίχνιον κατεσκαμμένον, ὅπου φασὶ
τὸν λίθον πεσεῖν κατὰ τὰ Περσικά· εἶτα Καλλί-
πολις, ἀφ' ἧς εἰς Λάμψακον διάρμα ἐπὶ τὴν Ἀσί-
αν τετταράκοντα. εἶτα πολίχνιον κατεσκαμμένον
Κριθωτή· εἶτα Πακτύη· εἶτα τὸ Μακρὸν τεῖχος
καὶ Λευκὴ ἀκτὴ καὶ τὸ Ἱερὸν ὄρος καὶ Πέρινθος.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

# Χερρόνησος.

c. 92. .. ἀδιάστατα μὲν γὰρ καὶ ταῦτ' ἂν ἴσως τις, ὅτι Στράβων Β'
φησὶν ἄκρας τρεῖς τῆς Εὐρώπης, μίαν μὲν τιθεὶς Σελ. 122.
(Ἐρατοσθένης;) τὴν ἐφ' ἧς ἡ Πελοπόννησος· ἔχει γὰρ
τι πολυσχιδές· καὶ γὰρ τὸ Σούνιον ἀκρωτηριάζει ὁμοί-
ως τῇ Λακωνικῇ, ὀλίγον ἧττον μεσημβρινώτερον
ὂν τῶν Μαλεῶν καὶ κόλπον ἀπολαμβάνον ἀξιό-
λογον, καὶ ἡ Θρᾳκία Χερρόνησος ἀπολαμβάνει
πρὸς τὸ Σούνιον τόν τε Μέλανα κόλπον καὶ τοὺς ἐφε-
ξῆς τοὺς Μακεδονικούς.

c. 108. Προσεσκεμμένως δὲ τῆς Εὐρώπης ἄκρας Σελ. 144.
πλείους βέλτιον μὲν οὗτος (Πολύβιος;) εἴρηκεν ἢ
αὐτὸν Ἐρατοσθένης, οὔπω δὲ ἱκανῶς· ἐκεῖνος
μὲν γὰρ ἔφη τρεῖς. . . . οὗτος δὲ τὰς μὲν δύο
τὰς πρώτας ὁμοίως ἐκτίθεται, τρίτην δὲ τὴν κατὰ
Μαλέας καὶ Σούνιον, ἐφ' ἧς ἡ Ἑλλὰς πᾶσα καὶ ἡ Ἰλ-
λυρὶς καὶ τῆς Θρᾴκης τινά, τετάρτην δὲ τὴν κατὰ τὴν
~~Κιμμερικὴν~~ Θρᾳκίαν Χερρόνησον, ἐφ' ἧς τὰ
κατὰ Σηστὸν καὶ Ἄβυδον στενά (ἔχουσι δ' αὐτὴν
Θρᾷκες) πέμπτην δὲ τὴν κατὰ τὸν Κιμμερικὸν
Βόσπορον . . .

372

# Θρᾳκία Χερρόνησος

« καθάπτεται μὲν γὰρ τοῦ (Ἐρατοσθένους) καὶ ὅτι φησὶν ἄκρας τρεῖς τῆς Εὐρώπης, μίαν μὲν τιθεὶς τὴν ἐφ' ἧς ἡ Πελοπόννησος· ἔχει γάρ τι πολυσχιδές· καὶ γὰρ τὸ Σούνιον ἀκρωτηριάζει ὁμοίως τῇ Λακωνικῇ, οὐ πολὺ ἧττον μεσημβρινώτερον ὂν τῶν Μαλεῶν καὶ κόλπον ἀπολαμβάνον ἀξιόλογον· καὶ ἡ Θρᾳκία Χερρόνησος ἀπολαμβάνει πρὸς τὸ Σούνιον τόν τε Μέλανα κόλπον καὶ τοὺς ἐφεξῆς τοὺς Μακεδονικούς. » Στρ. Β. 92.

« Προσυποσημαινούσης δὲ τῆς Εὐρώπης ταῖς ἄκραις πλείοσι, βέλτιον μὲν οὗτος ἀφορίζει (ὁ Πολύβιος) περὶ αὐτῶν Ἐρατοσθένους, οὔπω δὲ ἱκανῶς· ἐκεῖνος μὲν γὰρ τρεῖς ἔφη . . . . . . . . . οὗτος δὲ τὰς μὲν δύο τὰς πρώτας ὁμοίως τίθεται, τρίτην δὲ τὴν κατὰ Μαλέας καὶ Σούνιον, ἐφ' ἧς ἡ Ἑλλὰς πᾶσα καὶ ἡ Ἰλλυρὶς καὶ τῆς Θρᾴκης τινά, τετάρτην δὲ τὴν κατὰ τὴν Θρᾳκίαν Χερρόνησον, ἐφ' ᾗ τὰ κατὰ Σηστὸν καὶ Ἄβυδον στενά (ἔχουσι δ' αὐτὴν Θρᾷκες), πέμπτην δὲ τὴν κατὰ τὸν Κιμμερικὸν Βόσπορον » » 108. 5

373

## Θρᾳκία Χερρόνησος. Μέλας κόλπος.
## Μέλας ποταμός.

Στρ. 331. 52 «Πρὸς δὲ τῇ ἐκβολῇ τοῦ Ἕβρου διστόμου ὄντος πόλις Αἶνος
ἐν τῷ Μέλανι κόλπῳ κεῖται. . . . . . . ἔστι δὲ πρότε-
ρον Ἀλωπεκόννησος, εἶτ' ἄκρα Σαρπηδών· εἶθ' ἡ Χερ-
ρόνησος ἡ Θρᾳκία καλουμένη, ποιοῦσα τήν τε Προπον-
τίδα καὶ τὸν Μέλανα κόλπον καὶ τὸν Ἑλλήσποντον· ἄκρα
γὰρ ἔκκειται πρὸς εὐρόνοτον, συνάπτουσα τὴν Εὐρώ-
πην πρὸς τὴν Ἀσίαν ἑπταστάδιον πορθμὸν τὸν κα-
τὰ Ἄβυδον καὶ Σηστόν, ἐν ἀριστερᾷ μὲν τὴν Προπον-
τίδα ἔχουσα, ἐν δεξιᾷ δὲ τὸν Μέλανα κόλπον καλούμενον
ἀπὸ τοῦ Μέλανος ἐκδιδόντος ποταμοῦ, καθάπερ
7. 821 α Ἡρόδοτος καὶ Εὔδοξος φασί. δέ φησιν, ὁ Ἡρόδοτος ἐπὶ ἀν-
θαρίξαι τὸ ῥεῖθρον τῇ Ξέρξου στρατιᾷ. τῷ ἰσθμῷ δὲ κλεί-
εται τετταράκοντα σταδίων ἡ λεχθεῖσα ἄκρα ἐν μέσῳ
μὲν τῷ τοῦ ἰσθμοῦ Λυσιμάχεια πόλις ἵδρυται. . . . .
ἑκατέρωθεν δ' ἐν μὲν τῷ Μέλανι κόλπῳ Καρδία κεῖται
μεγίστη τῶν ἐν Χερρονήσῳ πόλεων. . . . ἐν δὲ τῇ
Προποντίδι Πακτύη. μετὰ δὲ Καρδίαν Δράβος καὶ Λί-
μναι· εἶτ' Ἀλωπεκόννησος, εἰς ἣν τελευτᾷ κόλπος ὁ Μέλας
κόλπος· εἶτ' ἄκρα Μαζουσία· εἶτ' ἐν κόλπῳ Ἐλαιοῦς, ὅπου
τὸ Πρωτεσιλάειον καθ' ὃ τὸ Σίγεα ἀπὸ τετταράκοντα
σταδίων ἐστί, ἄκρα τῆς Τρῳάδος καὶ σχεδὸν τοῦτ' ἐστὶ τὸ νοτι-
ώτατον ἄκρον τῆς Χερρονήσου σταδίοις μικρῷ πλείοσι τῶν τετρα-
κοσίων

Θρᾳκία Χερρόνησος - Μέλας κόλπος Κριθώτη.



ἀπὸ Καρδίας· καὶ οἱ λοιποὶ δ' ἐπὶ θάτερον μέρος τοῦ ἰσθμοῦ κει- Στρ. Ζ. 331
μένου τοῦ διατειχίσματος τοῦ τὴν πόλιν περιέχοντι. Ε. 52.
Ὅτι ἡ ἐν Θρᾴκῃ Χερρόνησος τρεῖς ποιεῖ θαλάσσας· Προ- 53.
ποντίδα ἐκ βορρᾶ, Ἑλλήσποντον ἐξ ἀνατολῶν καὶ τὸν Μέ-
λανα κόλπον ἐκ νότου, εἰς ὃν καὶ ὁ Μέλας ποταμὸς ἐκ-
βάλλει, ὁμώνυμος τῷ κόλπῳ. Epit.
54. Ὅτι ἐν τῷ ἰσθμῷ τῆς Χερρονήσου τρεῖς πόλεις ἵδρυν-
ται· πρὸς μὲν τῷ Μέλανι κόλπῳ Καρδία, πρὸς δὲ τῇ
μεσογαίᾳ Λυσιμάχεια, μῆκος δὲ ἰσθμοῦ στάδια τετταρά-
κοντα. Epit.

21 κ Μεταξὺ δὲ Λευκάδος καὶ τοῦ Ἀμβρακικοῦ κόλπου λι- „ Ι. 459.
μνοθάλαττά ἐστι Μυρτούντιον λεγομένη, ἀπὸ δὲ Λευκάδος
ἑξῆς Πάλαιρος καὶ Ἀλυζία τῆς Ἀκαρνανίας.
... τὴν ἄκραν Κριθώτην καὶ [αἱ] Ἐχινάδες καὶ πόλις
Ἀστακὸς ὁμώνυμος τῇ περὶ Νικομήδειαν (καὶ ἡ Κρι-
θώτη δ' ὁμώνυμος πολίχνῃ τῶν ἐν τῇ Θρᾳκίᾳ Χερρονή-
σῳ).

κ ἐν δὲ τῇ περαίᾳ τῆς Χερρονήσου πολίχνιον ἐστι Καλ- ΙΓ. 589
λίπολις· κεῖται δ' ἐπ' ἀκτῆς ἐκκειμένης πρὸς τὴν 18
Ἀσίαν.

## Θρᾳκία Χερρόνησος Σηστός.

Γέφυρα ἐν Σηστῷ Ἡροῦς πύργος.

Στρ. 591.15 ἡ δὲ Ἄβυδος Μιλησίων ἐστὶ κτίσμα ἐπιτρέψαντος Γύγου τοῦ Λυδῶν βασιλέως· ἦν γὰρ ἐπ' ἐκείνῳ τὰ χωρία καὶ ἡ Τρῳὰς ἅπασα, ὀνομάζεται δὲ καὶ ἀκρωτήριόν τι πρὸς Δαρδάνῳ Γύγας· ἐπίκειται δὲ τῷ στόματι τῆς Προποντίδος καὶ τοῦ Ἑλλησπόντου· διέχει δὲ τὸ ἴσον Λαμψάκου καὶ Ἰλίου σταδίους περὶ ἑβδομήκοντα καὶ ἑκατόν. ἐνταῦθα δ' ἐστὶ τὸ ἑπταστάδιον ὅπερ ἔζευξε Ξέρξης, τὸ διορίζον τὴν Εὐρώπην καὶ τὴν Ἀσίαν· καλεῖται δ' ἡ ἄκρα τῆς Εὐρώπης Χερρόνησος διὰ τὸ σχῆμα, ἡ ποιοῦσα τὰ στενὰ κατὰ τὸ ζεῦγμα· ἀντίκειται δὲ τὸ ζεῦγμα τῇ Ἀβύδῳ. Σηστὸς δὲ ἀρίστη τῶν ἐν Χερρονήσῳ πόλεων· διὰ δὲ τὴν γειτνίασιν ὑπὸ τῷ αὐτῷ ἡγεμόνι καὶ αὕτη ἐτέτακτο, οὔπω ταῖς ἠπείροις διοριζόντων τὰς ἡγεμονίας. ἡ μὲν οὖν Ἄβυδος καὶ ἡ Σηστὸς διέχουσιν ἀλλήλων τριάκοντά που σταδίους ἐκ λιμένος εἰς λιμένα, τὸ δὲ ζεῦγμά ἐστι μικρὸν ἀπὸ τῶν πόλεων παραλλάξαντι, ἐξ Ἀβύδου μὲν ὡς ἐπὶ τὴν Προποντίδα, ἐκ δὲ Σηστοῦ εἰς τοὔμπαλιν· ὀνομάζεται δὲ πρὸς τῇ Σηστῷ τόπος Ἀποβάθρα, καθ' ὃν ἐζεύγνυτο ἡ σχεδία. ἔστι δὲ ἡ Σηστὸς ἐνδοτέρω κατὰ τὴν Προποντίδα ὑπερδέξιος τοῦ ῥοῦ τοῦ ἐξ αὐτῆς· διὸ καὶ εὐπετέστερον ἐκ τῆς Σηστοῦ διαίρουσι παραλεξάμενοι μικρὸν ἐπὶ τὸν τῆς Ἡροῦς πύργον, κἀκεῖθεν ἀφιέντες τὰ πλοῖα συμπράττοντος τοῦ ῥοῦ πρὸς τὴν περαίωσιν,

Χερρόνησος Θρ. Πρωτεσιλάειον.

Ἐλαιοῦσσα.

376

« Κατὰ δὲ τὴν Σιγειάδαν ἄκραν ἐν τῇ Χερρονή- Στρ. 13.595

σῳ τὸ Πρωτεσιλάειον καὶ ἡ Ἐλαιοῦσσα περὶ ὧν εἰρή- 31.

καμεν ἐν τοῖς Θρᾳκικοῖς. »

Χερρόνησος Θρ. Πρωτεσιλάεια.

Ἐλαιοῦσσα.

377

« Κατὰ τὴν Σιγειάδα ἄκραν ἐν τῇ Χερρονή- Στρ. 13. 59.
σῳ τὸ Πρωτεσιλάειον καὶ ἡ Ἐλαιοῦσσα περὶ ὧν εἰρή- 31.
καμεν ἐν τοῖς Θρᾳκίοις. »

327

# Θρακία Χερρόνησος

378

« αἰτιάσαιτο μὲν γὰρ τὸν (Ἐρατοσθένη;) καὶ τοῦτ' ἄν τις Στρ. Β.
τις, ὅτι φησὶν ἄκρας τρεῖς τῆς Εὐρώπης, μίαν μὲν τίθησι 92.
τὴν ἐφ' ἧς ἡ Πελοπόννησος· ἔχει γὰρ τι πολυσχιδές· καὶ γὰρ
τὸ Σούνιον ἀκρωτηριάζει ὁμοίως τῇ Λακωνικῇ, οὐ πολὺ ἧτ-
τον μεσημβρινώτερον ὂν τῶν Μαλεῶν καὶ κόλπον ἀπολαμ-
βάνον ἀξιόλογον. καὶ ἡ Θρᾳκία Χερρόνησος ἀπολαμβάνει
πρὸς τὸ Σούνιον τόν τε Μέλανα κόλπον καὶ τοὺς ἐφεξῆς τοὺς
Μακεδονικούς. »

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

« Προσεκπιπτούσης δὲ τῆς Εὐρώπης ἄκραις πλείοσι, βέλτι- σ. 108. 5
ον μὲν οὗτος εἴρηκεν (ὁ Πολύβιος) περὶ αὐτῶν Ἐρατοσθένους,
οὔπω δὲ ἱκανῶς· ἐκεῖνος μὲν γὰρ τρεῖς ἔφη . . . . .
. . . . . . οὗτος δὲ τὰς μὲν δύο τὰς πρώτας ὁμοίως τί-
θεται, τρίτην δὲ τὴν κατὰ Μαλέας καὶ Σούνιον, ἐφ' ἧς ἡ
Ἑλλὰς πᾶσα καὶ ἡ Ἰλλυρὶς καὶ τῆς Θρᾴκης τινά, τετάρτην δὲ
τὴν κατὰ τὴν Θρᾳκίαν Χερρόνησον, ἐφ' ἧς τὰ κατὰ Ση-
στὸν καὶ Ἄβυδον στενά (ἔχουσι δ' αὐτὴν Θρᾷκες), πέμπτην
δὲ τὴν κατὰ τὸν Κιμμερικὸν Βόσπορον